2 [2]ὅτι θεὸς συντρίβων πολέμους κύριος,
ὅτι εἰς παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ
ἐξείλατό με ἐκ χειρὸς καταδιωκόντων με.
3 [3]ἦλθεν Ασσουρ ἐξ ὀρέων ἀπὸ βορρᾶ,
ἦλθεν ἐν μυριάσι δυνάμεως αὐτοῦ,
ὧν τὸ πλῆθος αὐτῶν ἐνέφραξεν χειμάρρους,
καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψεν βουνούς·
4 [4]εἶπεν ἐμπρήσειν τὰ ὅριά μου
καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν ῥομφαίᾳ
καὶ τὰ θηλάζοντά μου θήσειν εἰς ἔδαφος
καὶ τὰ νήπιά μου δώσειν εἰς προνομὴν
καὶ τὰς παρθένους μου σκυλεῦσαι.
5 [5]κύριος παντοκράτωρ ἠθέτησεν αὐτοὺς
ἐν χειρὶ θηλείας.
6 [6]οὐ γὰρ ὑπέπεσεν ὁ δυνατὸς αὐτῶν ὑπὸ νεανίσκων,
οὐδὲ υἱοὶ τιτάνων ἐπάταξαν αὐτόν,
οὐδὲ ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ,
ἀλλὰ Ιουδιθ θυγάτηρ Μεραρι
ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν,
7 [7]ἐξεδύσατο γὰρ στολὴν χηρεύσεως αὐτῆς
εἰς ὕψος τῶν πονούντων ἐν Ισραηλ,
ἠλείψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ
8 [8]καὶ ἐδήσατο τὰς τρίχας αὐτῆς ἐν μίτρᾳ
καὶ ἔλαβεν στολὴν λινῆν εἰς ἀπάτην αὐτοῦ·
9 [9]τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ,
καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτισεν ψυχὴν αὐτοῦ,
διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ.
10 [10]ἔφριξαν Πέρσαι τὴν τόλμαν αὐτῆς,
καὶ Μῆδοι τὸ θράσος αὐτῆς ἐταράχθησαν·
11 [11]τότε ἠλάλαξαν οἱ ταπεινοί μου,
καὶ ἐφοβήθησαν οἱ ἀσθενοῦντές μου καὶ ἐπτοήθησαν,
ὕψωσαν τὴν φωνὴν αὐτῶν καὶ ἀνετράπησαν·
12 [12]υἱοὶ κορασίων κατεκέντησαν αὐτοὺς
καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς,
ἀπώλοντο ἐκ παρατάξεως κυρίου μου.
13 [13]ὑμνήσω τῷ θεῷ μου ὕμνον καινόν
Κύριε, μέγας εἶ καὶ ἔνδοξος,

2 θεος] pr. ο A | λαου] pr. του S† || 3 δυναμεων BL† | εφραξε S || 4 ορια] ορη B† | εν > BS 58† | μου ult. > BL† || 6 υπεπεσεν BA†] υπ > rel. | μαραρει S†: cf. Par. I 5 27 | αυτης ⌒ 7 αυτης ult. S*† || 8 εδησατο] ανεδ. $LS^{c}$† || 9 ο > A† || 10 εταραχθησαν] ερραχθ. BS*† || 12 αυτους $2^0$ > BA || 13 θεω μου] κυριω A